# TEZAUR LITURGIC

## 18 IULIE

# SLUJBA SF.MUCENIC EMILIAN DE LA DUROSTORUM

ATENA,2010


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# ΤΗ ΙΗ΄ ΤΟΥ ΜΗΝΟΣ ΙΟΥΛΙΟΥ

# Μνήμη του Αγίου Μάρτυρος Αιμιλιανού

# ΑΚΟΛΟΥΘΙΑ

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ιστώμεν στίχους δ΄ και ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος πλ. β΄. Αι Αγγελικαί.

Πάντων των φθαρτών, νουνεχώς καταφρονήσας, όλη τη ψυχή, ηκολούθησας Κυρίω, και πόνοις μαρτυρίου ομιλήσας στενότατα, Αιμιλιανέ μεγαλομάρτυς, της αειζώου ευφροσύνης λαμπρώς έτυχες, υπέρ ημών εκδυσωπών, τον μόνον φιλάνθρωπον.

Στήλην σεαυτόν, ευσεβείας παραστήσας, βίω καθαρώ, και εν ζήλω θεαρέστω, συνέτριψας ειδώλων, τα σεβάσματα Άγιε, και Χριστού το Όνομα κηρύξας, Αιμιλιανέ· εχθρού καθείλες την δύναμιν, και εκομίσω εκ Θεού, της νίκης τον στέφανον.

Ήλεγξας στερρώς, των ειδώλων την απάτην, και τους ραβδισμούς, ανενδότως υπομείνας, δια πυρός ανδρείως τον αγώνα ετέλεσας, και της πλάνης εφλεξας την ύλην, Αιμιλιανέ τοις σοις πόνοις· διο Κύριος, εδόξασε σε θαυμαστώς, Μαρτύρων λαμπρότησι.

Ώσπερ λογικόν, ολοκαύτωμα προσήχθης, Αιμιλιανέ, τω Δεσπότη των απάντων, διο πυρός τελέσας τον αγώνά σου Άγιε, και του Παρακλήτου τη δυνάμει, άφλεκτος εν τούτω διαμείνας, εχθρού εφλεξας, πάσαν την δύναμιν σοφέ, πυρ των καμάτων σου.

Δόξα. Ήχος α’ .

Ευσεβεία κοσμούμενος, ειδωλικην σχυνας μανίαν, αθλητική ενστάσει, Αιμιλιανέ παμμακάριστε Χριστώ γαρ ανακείμενος, ουδαμώς επτόησαι, των διωκόντων τον θυμόν, ως στρατιώτης άριστος, του Βασιλέως της δόξης, και καλώς αγωνισάμενος, αξίως εστεφανώθης, παρά Χριστού του Θεού, και Σωτήρος των ψυχών ημών.

Και νυν. Θεοτοκίον. Τη πρεσβεία Κύριε...

ΑΠΟΣΤΙΧΑ. Ήχος δ΄. Οίκος του Εφραθά..

Έχων εν τη ψυχή, το πυρ το θείον μάκαρ, πυρός ενύλου φλόγα, ουκ έδεισας ουδόλως, θεόθεν δυναμούμενος.

Στίχος: Δίκαιος ως φοίνιξ ανθήσει και ωσεί κεδρος, η εν τω Λιβάνω πληθυνθήσεται.

Ήθλησας καρτερώς, και ήσχυνας τον όφιν, αθλήσει σου γενναία, ω Αιμιλιανέ, μαρτύρων εγκαλλώπισμα.

Στίχος: Θαυμαστός ο Θεός εν τοις ·Αγίοις αυτού.

Χαίρων νυν την χάριν, την άληκτον και θείαν, ικετευε απαύστως, ο Αιμιλιανέ, υπέρ των ευφημούντων σε.

Δόξα. Τριαδικόν.

Τρίφωτε παντουργέ, ομόδοξε Θεότης, πρεσβείαις ευπροσδεκτοις, του Αιμιλιανού, ελέησον τους δούλους σου.

Και νυν. Θεοτοκίον.

Έσχές εν τη γαστρί, τον πάντων Βασιλέα, και τέτοκας αφράστως, αυτόν Παρθενομήτορ, ημάς ανακαινίζοντα.

Νυν απολύεις . Το Τρισάγιον.

Απολυτίκιον . Ήχος γ΄. Θείας πίστεως.

Θείας πίστεως, έχων την χάριν, ζήλω κρείττονι, την των ειδώλων, κατειργάσω συντριβήν αξιάγαστε, και του πυρός ενεγκών την κατάφλεξιν, Αιμιλιανέ θείας δόξης ηξίωσαι, Μάρτυς ένδοξε, Χριστόν τον Θεόν ικέτευε, δωρήσασθαι ημίν το μέγα έλεος.

Έτερον απολυτίκιον. Ηχ. γ΄. Θείας πίστεως.

Λίθος τίμιος της Εκκλησίας, φυλαττόμενος εν τοις ταμίοις, τοις ουρανίοις γέγονας, Άγιε, τους προσκυνούντας τους λίθους διήλεγξας, και μαρτυρίου ποτήριον έπιες· μάρτυς ένδοξε Αιμιλιανέ γενναιότατε, Χριστόν τον Θεόν ικίτευε, δωρήσασθαι ημίν το. μέγα έλεος.

Έτερον. Ήχος α·. Της ερήμου πολίτης.

Τω Χριστώ ώσπερ θύμα προσηνέχθης πολύτιμον, Αιμιλιανέ Αθλοφόρε, εν πυρί τελειούμενος, και θείων αμοιβών αξιωθείς, ως μάρτυς του Σωτήρος ευκλεής, επομβρίζεις των θαυμάτων τας δωρεάς, τοις πίστει εκβοώσι σοι· Δόξα τω δεδωκότι σοι ισχύν· δόξα τω σε στεφανώσαντι· δόξα τω ενεργούντι δια σου, πάσιν ιάματα.

Έτερον. Ήχος δ . Ο υψωθείς εν τω Σταυρώ.

Ως προσφορά και ολοκάρπωμα θείον, διο πυρός προσενεχθείς τω Δεσπότη, τοις όμβροις των χαρίτων σου ευφραίνεις νυν ημάς· πυρ γαρ το ουράνιον, τη ψύχη περιφέρων, ώσπερ αύραν έφερες, την κατάφλεξιν Μάρτυς. Αλλά μη παύση πάντοτε φρουρείν, τους σε τιμώντας, Αιμιλιανέ ένδοξε.

Θεοτόκιον.Το απ αἰῶνος απόκρυφον...

Και Απόλυσις.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις το, Κύριε, εκέκραξα, ψάλλομεν Στιχηρά προσόμοια του Μάρτυρος γ΄.Ήχος δ΄. Έδωκας σημείωσιν.

Ενέδυσας Κύριε, τον αθλοφόρον σου δύναμιν, την εξ ύψους αήττητον, και τούτον ενίσχυσας, δια σε βασάνους, εξ εχθρών ανόμων, υπενεγκείν αθλητικώς, και μαρτυρίου στέφανον δέξασθαι· δι οὗ ημίν συγχώρησιν, αμαρτημάτων κατάπεμψον, Ιησού παντοδύναμε, ο Σωτήρ των ψυχών ημών.

Σταυρόν οπλισάμενος, ο αθλοφόρος σου Κύριε, και σω ζήλω πυρούμενος, ειδώλων ενέπρησε, τα τεμένη πάντα, και τας παρατάξεις, του αρχεκάκου καθελών, Αιμιλιανός ο ένδοξος, βραβεία νίκης Δέσποτα, την βασιλείαν απείληφε, παρά σου την ουράνιον, και πρεσβεύει σωθήναι ημάς.

Αστέρα υπέρλαμπρον, τη Εκκλησία ανέδειξας, Αιμιλιανόν τον Μάρτυρα, οπλίτην τε άριστον, δαδουχούντα πάσαν, νυν την οικουμένην, θαυματουργίαις μυστικαίς, και αθεΐας σκότος ελαύνοντα· υφ οὗ φωταγωγούμενοι, θεοπρεπώς ανυμνούμέν σε, Ιησού παντοδύναμε, ο Σωτήρ των ψυχών ημών.

Έλαμψεν η μνήμη σου, ως άλλος ήλιος σήμερον, Αιμιλιανέ παμμακάριστε, θαυμάτων ταις λάμψεσιν αεί καταυγάζων πιστών τας καρδίας, και παθημάτων την αχλύν, διασκεδάζων σθένει του

Πνεύματος, διο και συνελθόντες σε, μελωδικώς μακαρίζομεν και την θείαν σου άθλησιν ιερώς εορτάζομεν.

Όλην σου την έφεσιν, προς τον Θεόν ανατέθηκας, ολοτρόπως επόθησας, εξ όλης καρδίας σου, Χριστώ τω Σωτήρι· και βδελυξάμενος βωμούς και τας θυσίας ειδώλων πάνσοφε, διο σε μακαρίζομεν, και την αγιάν σου σήμερον, εκτελούμεν πανήγυριν, τον Σωτήρα δοξάζοντες.

Πρόκειται ο τάφος σου, ως ποταμός χαριτόβρυτος, των θαυμάτων τοις ρεύμασιν, Αιμιλιανέ ένδοξε, πάθη τε και νόσοις, αποδιώκειν των πιστών, και των δαιμόνων ελαύνεις φάλαγγας. Διο και των λειψάνων σου, την θείαν κόνιν κατέχοντες, ως πηγήν αγιάσματος τον Δεσπότην δοξάζομεν.

Δόξα. Ήχος πλ. β΄.

Επέφανε τοις πέρασι σήμερον, ήμερα σωτήριος, και εορτή χαρμόσυνος Αιμιλιανού του μάρτυρος, η και σεβάσμιος άθλησις πάντων των πιστών τας ψυχάς καταλάμπουσα, και προς αγώνας μαρτυρικούς υπαλειφουσα· ως γαρ ήλιος η μαρτυρική αυτού μνήμη, ακτίνας εκπέμπει, και διαλύει πάσαν σκοτόμαιναν ψυχών τε και σωμάτων· αυτώ πιστοί βοήσωμεν· Ένδοξε μάρτυς Αιμιλιανέ πανθαύμαστε, μη διαλίπης πρεσβεύειν προς Κύριον, εν ειρήνη του βίου· ημών τελειώσαι και σωθήναι τας ψυχάς ημών.

Και νυν και αεί και εις τους αιώνας.

Τις μη μακαρίσει σε, Παναγία Παρθένε...

Είσοδος. Προκείμενον της ημέρας και τα Αναγνώσματα.

Προφητείας Ησαΐου το Ανάγνωσμα. (μγ΄ 9-14).

Τάδε λέγει Κύριος. Πάντα τα έθνη συνήχθησαν άμα, και συναχθήσονται άρχοντες εξ αυτών. Τις αναγγελεί ταύτα εν αυτοίς; η τα εξ αρχής, τις ακουστά ποιήσει υμίν; Αγαγέτωσαν τους μάρτυρας αυτών και δικαιωθήτωσαν, και ειπάτωσαν αληθή. Γίνεσθέ μοι μάρτυρες, και εγώ μάρτυς Κύριος ο Θεός, και ο παις, ον εξελεξάμην· ίνα γνώτε, και πιστεύσητε, και συνήτε, ότι εγώ ειμι. Έμπροσθέν μου ουκ εγένετο άλλος Θεός, και μετ ἐμὲ ουκ έσται. Εγώ ειμι ο Θεός, και ουκ έστι πάρεξ εμού ο σώζων. Εγώ ανήγγειλα και έσωσα, ωνείδισα, και ουκ ην εν υμίν αλλότριος. Υμείς εμοί μάρτυρες, και εγώ Κύριος ο Θεός· ότι απ ἀρχῆς εγώ ειμι, και ουκ έστιν ο εκ των χειρών μου εξαιρούμενος. Ποιήσω, και τις αποστρέψει αυτό; Ούτω λέγει Κύριος ο Θεός, ο λυτρούμενος ημάς, ο Άγιος Ισραήλ.

Σοφίας Σολομώντος το Ανάγνωσμα. (γ΄ 1-9).

Δικαίων ψυχαί εν χειρί Θεού, και ου μη άψηται αυτών βάσανος. Έδοξαν εν οφθαλμοίς αφρόνων τεθνάναι, και ελογίσθη κάκωσις η έξοδος αυτών, και η αφ ἡμῶν πορεία σύντριμμα· οι δε εισιν εν ειρήνη. Και γαρ εν όψει ανθρώπων εάν κολασθώσιν, η ελπίς αυτών αθανασίας πλήρης. Και ολίγα παιδευθέντες, μεγάλα ευεργετηθήσονται· ότι ο Θεός επείρασεν αυτούς, και εύρεν αυτούς αξίους εαυτού. Ως χρυσόν εν χωνευτηρίω εδοκίμασεν αυτούς, και ως ολοκάρπωμα θυσίας προσεδέξατο αυτούς. Και εν καιρώ επισκοπής αυτών αναλάμψουσι, και ως σπινθήρες εν καλάμη

διαδραμούνται. Κρινούσιν έθνη, και κρατήσουσι λαών, και βασιλεύσει αυτών Κύριος εις τους αιώνας. Οι πεποιθότες επ αὐτόν, συνήσουσιν αλήθειαν, και οι πιστοί εν αγάπη προσμενούσιν αυτώ· ότι χάρις και έλεος εν τοις οσίοις αυτού, και επισκοπή εν τοις εκλεκτοίς αυτού.

Σοφίας Σολομώντος το Ανάγνωσμα. (ε΄ 15-23, στ΄ 1-3).

Δίκαιοι εις τον αιώνα ζώσι, και εν Κυρίω ο μισθός αυτών, και η φροντίς αυτών παρά Υψίστω. Δια τούτο λήψονται το βασίλειον της ευπρεπείας, και το διάδημα του κάλλους εκ χειρός Κυρίου· ότι τη δεξιά αυτού σκεπάσει αυτούς, και τω βραχίονι υπερασπιεί αυτών. Λήψεται πανοπλίαν τον ζήλον αυτού και οπλοποιήσει την κτίσιν εις άμυναν εχθρών. Ενδύσεται θώρακα δικαιοσύνην και περιθήσεται κόρυθα κρίσιν ανυπόκριτον. Λήψεται ασπίδα ακαταμάχητον, οσιότητα· οξυνεί δε απότομον οργήν εις ρομφαίαν. Συνεκπολεμήσει αυτώ ο κόσμος επί τους παράφρονας· πορεύσονται εύστοχοι βολίδες αστραπών, και ως από ευκύκλου τόξου, των νεφών, επί σκοπόν αλούνται, και εκ πετροβόλου θυμού πλήρεις ριφήσονται χάλαζαι. Αγανακτήσει κατ αὐτῶν ύδωρ θαλάσσης· ποταμοί δε συγκλύσουσιν αποτόμως. Αντιστήσεται αυτοίς πνεύμα δυνάμεως, και ως λαίλαψ εκλικμήσει αυτούς, και ερημώσει πάσαν την γην ανομία, και η κακοπραγία περιτρέψει θρόνους δυναστών. Ακούσατε ουν, Βασιλείς, και σύνετε· μάθετε Δικασταί περάτων γης· ενωτίσασθε οι κρατούντες πλήθους, και

γεγαυρωμένοι επί όχλοις εθνών· ότι εδόθη παρά Κυρίου η κράτησις υμίν, και η δυναστεία παρά Υψίστου.

Εις την Λιτήν. Ηχ. α΄.

Ευφραίνου εν Κυρίω πόλις Δοροστόλου· αγάλλου και χόρευε λαμπροφορούσα, επί τη μνήμη του πολιούχου σου· εν σοι γαρ ετέχθη Αιμιλιανός ο ένδοξος μάρτυς και αθλοφόρος, ου της σορού εν κόλποις κατέχουσα, ως θησαυρόν πολύτιμον. Απόλαυε των θαυμάτων τας ιάσεις, καθαιρούσα δε τα είδωλα, και πιστώς ευχαριστούσα βόησον τω Σωτήρι και Θεώ· της πλάνης των ειδώλων, ρύσαι ημάς Κύριε δόξα σοι.

Τη των Ασμάτων φαιδρότητι την παρούσαν λαμπρύνομεν εορτήν, και ηχήσομεν τα του μάρτυρος Αιμιλιανού αγωνίσματα· προκείται γαρ ημών εις ευφημιαν ο τρισένδοξος αθλητής, όστις τας τον τυράννων απειλάς ανδρείως ανελών, προς το στάδιον της αθλήσεως σταθερώς ήλατο και τα νικητήρια ενδόξως απενεγκάμενος, τον Σωτήρα δυσωπεί σωθήναι τας ψυχάς ημών.

Χριστώ ανακείμενος, της πίστεως τοις έργοις, τον υπέρ αυτού αγώνα, νομίμως εδέξω, Αιμιλιανέ παμμακάριστε· όλω γαρ τω πόθω εκδημών των γεηρών, του μαρτυρίου τον κάλλιστον δρόμον, ευσταλώς διήνυσας, θεολήπτω καρδία. Διο της άνω δόξης κατατρυφών, αδιαλείπτως ικέτευε, υπέρ των πίστει τιμώντων, την αγίαν σου άθλησιν.

Ήχος β΄.

Τω θείω πόθω τιτρωσκόμενος, παρ' ουδέν ηγήσω, τας επιγείους τρυφάς, και εμφρόνως εστρατευσω, τω Βασιλεί της δόξης Χριστώ, Αιμιλιανέ μακάριε: τον γαρ Σταυρόν αυτού αράμενος, και του πάθους μιμητής γενόμενος, ειδώλων την ασθένειαν εθριάμβευσας, και της απαθείας την πηγήν, καλώς αγωνισάμενος, κατείληφας. Αλλ ω Μάρτυς ένδοξε, και στρατιώτα Χριστού γενναιότατε, μη παύση δεόμενος, υπέρ των τιμώντων σε.

Ήχος γ΄.

Το πυρ ο ήλθε βαλείν, ο Χριστός επί της γης, εν τη καρδία δεξάμενος, πυρός υλικού, την δριμύτητα, ουδόλως έδεισας, ακαταπλήκτω ψυχή, Αιμιλιανέ αξιάγαστε, και εν αυτώ εισελθών, τυρρανική απονοία, της μεν πλάνης την ύλην κατέφλεξας, αυτός δε άφλεκτος έμεινας, τη μυστική δρόσω του Πνεύματος, καταπλήττων τους άφρονας, και νυν τω αύλω φωτί, της αφθαρσίας χοροβατών, φλέξον ημών παθών την ύλην, των πρεσβειών σου τοις άνθραξι, και θέρμανον ημάς προς θείαν αγάπην, ως αν εύρωμεν σωτηρίαν αιώνιον.

Ήχος δ΄.

Των χαμαί συρομένων υπεραρθείς, αθλητικην επεδείξω ανδρείαν, εν τη ενάρξει του σκάμματος, Αιμιλιανέ ουρανόφρονι ψυχή, και εν ασθενεια φύσεως ανδρισάμενος, τον ισχυρόν εν κακία κατηγωνίσω δράκοντα, ως του Σωτήρος στενός οπλίτης, και κατ’ αξίαν δοξασθείς, των σε τιμώντων προΐστασο, λυτρούμενος κινδύνων, και αιτούμενος πάσι το μέγα έλεος.

Τον εν αθλήσει αήττητον αριστέα, και της Εκκλησίας αειλαμπή αστέρα, Αιμιλιανόν τον ένδοξον του Σωτήρος Μάρτυρα, φιλομαρτύρων οι δήμοι, ύμνοις και ωδαίς ευφημήσωμεν την των ειδώλων συντριβήν γαρ εργασάμενος, ανδρείως υπήλθε, του μαρτυρίου τον αγώνα, και των αντικειμένων καταβαλών τας δυνάμεις, διο πυρός ανελήλυθε, προς τα φωταυγή της άνω βασιλείας σκηνώματα, και πρεσβεύει απαύστως, υπέρ των ψυχών ημών.

Ενδεδυμένος μυστικώς, της αληθείας το κρότος, προς αθλητικούς αγώνας εχώρησας, αηττήτω ψυχή, Αιμιλιανέ Μάρτυς ένδοξε· των γαρ ειδώλων την συντριβήν εργασάμενος, ως ηνωμένος τω Χριστώ, νίκης τρόπαιον μέγα ανέστησας, κατά των αντιπάλων, μαρτυρική ενστάσει· διο ο Αθλοθέτης Κύριος, ως ιερωτάτην προσφοράν σε εδέξατο, διο πυρός τον αγώνα τελέσαντα, και επαξίως εδόξασεν εν τη αλήκτω ζωή, ως στρατιώτην θεόληπτον. Αυτόν ικέτευε δεόμεθα, Αθλοφόρων συνόμιλε, ελεηθήναι τας ψύχος ημών.

Ήχος πλ. α΄.

Της ευσεβείας την ισχύν, περιζωσάμενος Μάρτυς, αήττητος ώφθης εν τω σταδίω της αθλήσεως· τον γαρ Σταυρόν του Χριστού, ως όπλον άμαχον έχων, κατηγωνίσω στενότατα, των αντικειμένων τας φάλαγγας, και πυρί δοκιμασθείς, και παρά Κυρίου λαμπρυνθείς, Αιμιλιανέ αξιάγαστε, αδιαλείπτως πρέσβευε, υπέρ των τιμώντων σε.

Ήχος πλ. δ΄.

Τη αγάπη του Χριστού, πυρποληθείς την καρδίαν, πυρός ενύλου κατεφρόνησας, Αιμιλιανέ καθάπερ άσαρκος, και εν αυτώ τελειούμενος, ευωδίας θείας έπλησας τας άνω Τάξεις, και της Εκκλησίας το πλήρωμα εύφρανας, τη μακαρία αθλήσει σου Άγιε· διο επινικίοις ύμνοις, κροτούντες τους αγώνάς σου, Χριστόν τον Κύριον δοξάζομεν, τον λαμπρώς σε θαυμαστώσαντα ένδοξε, ω πρέσβευε δεόμεθα, υπέρ των ψυχών ημών.

Δόξα. Ήχος β΄.

Εις τα υπερκοσμια σκηνώματα, το πνεύμά σου Αιμιλιανέ μάρτυς σοφέ, Χριστός ο Θεός προσήκατο αμώμητον συ γαρ της Τριάδος γέγονας υπερμαχος, εν τω σταδίω αθλήσας, ως αδάμας στερρός· μιμούμενος τον επί ξύλου σταυρωθέντα, προς σωτηρίαν παντός. του κόσμου, των θαυμάτων είληφας την ενέργειαν, τοις πάσι παρέχων τας ιάσεις αφθόνως· διο σου την μνήμην εορτάζομεν δοξάζοντες τον σε δοξάσαντα Κύριον.

Και νυν. Θεοτοκίον.

Την πάσαν ελπίδα μου εις σε ανατίθημι, ω Μήτηρ του Θεού, φύλαξόν με υπό την σκέπην σου.

Τα απόστιχα. Ήχος δ΄. Ως γενναίον εν Μάρτυσιν.

Φιλομάρτυρες άπαντες, πανταχόθεν συντρέξατε, και την θείαν άθλησιν εορτάσατε, του μάρτυρος Αιμιλιανού βοώντες προς Κύριον ικετεύοντες πιστώς ταις πρεσβείαις του μάρτυρος

δυσωπηθήτε· εκ παντοίων κινδύνων βλάσης ρύσαι ορατών και αοράτων εχθρών ημάς τας ιάσεις σου.

Στιχ. Υπομενών υπέμεινα τον Κύριον και προσέσχε μοι...

Εκ νεότητος Άγιε, συμπαθέστατος γέγονας, ελεών τους πένητας και τους πάσχοντας, αιχμαλώτους και λοιπούς, ποικίλας νόσους ιώμενος, εκ βαθέων της ψυχής την συνήθη συμπάθειαν ταύτην ένδοξε, εφ ἡμᾶς τους ικέτας αθλοφόρε, εκ παντοίων αλγηδόνων και πειρασμού ελευθέρωσον.

Στιχ. Δίκαιος ως φοίνιξ ανθήσει και ωσεί κέδρος εν τω λιβάνω πληθυνθήσεται.

Κατά χρέος τιμώμεν σε Αιμιλιανέ μάρτυς ένδοξε, ως ημών θερμότατον αντιλήπτορα, ως βοηθόν ακαταίσχυντον, προστάτην ως μέγιστον, ευεργέτην δε κοινόν, των Μαρτύρων καλλώπισμα πλουσιώτατον, των πιστώς προσιώντων αθλοφόρε, και την σκέπην σου αιτούντων υπέρ ημών αεί πρέσβευε.

Δόξα. Ηχ. β΄.

Φιάλας πεφύκασι των αρωμάτων, αι σιαγόνες σου, Αιμιλιανέ παναοίδιμε· ευωδίαν τοις πιστοίς εκπέμπουσι πνευματικήν, και πάσαν μεν των δαιμόνων απελάσας επήρρειαν, παρέχουσι δε τοις εν πίστει προσερχομένοις τω Ναώ σου ιαμάτων χαρίσματα, και τούτοις ενίσχυσον εις τον αγώνα της σωτηρίας· ούτως οίδε Κύριος δοξάζειν τους αυτού δοξάζοντας και βοώντας απαύστως· Κύριε δόξα σοι.

Και νυν. Θεοτ.

Αδιόδευτε Πύλη, μυστικώς εσφραγισμένη, Θεοτόκε Παρθένε, δέξαι τας δεήσεις ημών, προσάγαγε τω σω Υιώ και Θεώ, ίνα σώση δια σου τας ψυχάς ημών.

Νυν απολύεις . Το Τρισάγιον.

Απολυτίκιον . Ήχος γ΄. Θείας πίστεως.

Θείας πίστεως, έχων την χάριν, ζήλω κρείττονι, την των ειδώλων, κατειργάσω συντριβήν αξιάγαστε, και του πυρός ενεγκών την κατάφλεξιν, Αιμιλιανέ θείας δόξης ηξίωσαι, Μάρτυς ένδοξε, Χριστόν τον Θεόν ικέτευε, δωρήσασθαι ημίν το μέγα έλεος.

Απολυτ. Ηχ. γ΄. Θείας πίστεως.

Λίθος τίμιος της Εκκλησίας, φυλαττόμενος εν τοις ταμίοις, τοις ουρανίοις γέγονας, Άγιε, τους προσκυνούντας τους λίθους διήλεγξας, και μαρτυρίου ποτήριον έπιες· μάρτυς ένδοξε Αιμιλιανέ γενναιότατε, Χριστόν τον Θεόν ικίτευε, δωρήσασθαι ημίν το. μέγα έλεος.

Έτερον. Ήχος.α·. Της ερήμου πολίτης.

Τω Χριστώ ώσπερ θύμα προσηνέχθης πολύτιμον, Αιμιλιανέ Αθλοφόρε, εν πυρί τελειούμενος, και θείων αμοιβών αξιωθείς, ως μάρτυς του Σωτήρος ευκλεής, επομβρίζεις των θαυμάτων τας δωρεάς, τοις πίστει εκβοώσι σοι· Δόξα τω δεδωκότι σοι ισχύν· δόξα τω σε στεφανώσαντι· δόξα τω ενεργούντι δια σου, πάσιν ιάματα.

Έτερον. Ήχος δ’ . Ο υψωθείς εν τω Σταυρώ.

Ως προσφορά και ολοκάρπωμα θείον, διο πυρός προσενεχθείς τω Δεσπότη, τοις όμβροις των χαρίτων σου ευφραίνεις νυν ημάς· πυρ γαρ το ουράνιον, τη ψύχη περιφέρων, ώσπερ αύραν έφερες, την κατάφλεξιν Μάρτυς. Αλλά μη παύση πάντοτε φρουρείν, τους σε τιμώντας, Αιμιλιανέ ένδοξε.

Θεοτόκιον.

Το απ  αἰῶνος απόκρυφον...

Και Απόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά την α  Στιχολογίαν.

Καθίσματα. Ήχος δ΄. Ο υψωθείς εν τω Σταυρώ.

Των σων αγώνων διανυσας το σκάμμα, προς την αγήρω και υπερφωτον δόξαν, δια πυρός θεόφρον εξεδήμησας, εν αυτώ δε άφλεκτος, ενεργεία τη θεία, διαμείνας έφλεξας, της απάτης την ύλην· διο σε Μάρτυς Αιμιλιανέ, ως στρατιώτην, Χριστού μακαρίζομεν.

Δόξα. Ηχ. πλ. α΄.

Τον προστάτην τον μέγαν ανευφημήσωμεν, των Μαρτύρων το σκεύος το τιμιώτατον, χαίρε Αγίων καλλονή απαστράπτουσα, αντιλήπτωρ των πιστών, απάντων τε των δικαίων, των προστρεχόντων εν πίστει εν τω πανσέπτω Ναώ σου, Αιμιλιανέ αξιάγαστε.

Και νυν.Θεοτοκίον.

Χαίρε πύλη Κυρίου η αδιόδευτος. Χαίρε τείχος και σκέπη των προστρεχόντων εις σε. Χαίρε αχείμαστε λιμήν, και Απειρόγαμε, η τεκούσα εν σαρκί τον ποιητήν σου και Θεόν, πρεσβεύουσα μη ελλείπης, υπέρ των ανυμνούντων και προσκυνούντων τον τόκον σου.

Μετά την β΄ Στιχ. Ηχ. α΄. Τον τάφον σου Σωτήρ.

Τω πάντων βασιλεί, εθυσίασας μάρτυς, θυσίαν καθαράν, προσενήνοχας μάκαρ, σαυτόν τω Κυρίω σου πυρός καμίνου ουκ έπτηξας· όθεν σήμερον την παναγίαν σου μνήμην, εορτάζοντες αμαρτημάτων την λύσιν ευχαίς σου λαμβάνομεν.

Δόξα ο αυτός.

Ηγώνισαι καλώς, και καθείλεις την πλάνην, ω Αιμιλιανέ, του Χριστού τη δυνάμει· διο και της λαμπρότητος, των Αγγέλων ηξίωσε, μεθ ὧν πρέσβευε, υπέρ ημών Αθλοφόρε, των τελούντων σου, την αξιέπαινον μνήμην, ευρείν ημάς έλεος.

Και νυν. Θεοτοκίον.

Μαρία το σεπτόν, του Δεσπότου δοχείον, ανάστησον ημάς, πεπτωκότας εις χάος, δεινής απογνώσεως, και πταισμάτων και θλίψεων· συ γαρ πέφυκας αμαρτωλών σωτηρία· και βοήθεια και κραταιά προστασία και σώζεις τους δούλους σου.

Μετά τον πολυέλαιον. Ήχος δ΄. Ταχύ προκατάλαβε.

Αυτόκλητος ώρμησας, προς τους αγώνας σοφέ, και χαίρων εκήρυξας, επί απιστών στερρώς, Χριστόν τον Θεόν ημών· όθεν και

πολυτρόπων, αικισμών καταπτύσας, ήνυσας τον αγώνα, εν πυρί ανενδότως· διο Αιμιλιανέ σε, Χριστός εθαυμάστωσεν.

Δόξα. Ήχος δ΄. Επεφάνης σήμερον.

Εν πανύχοις άσμασιν, ημάς υμνούντας, και προς σε ορθρίζοντας μετ εὐλαβείας ιεράς, σκέπε και φρούρει πρεσβείαις σου, Αιμιλιανέ, Μάρτυς παναοίδιμε.

Και νυν. Θεοτοκίον.

Σαις αγρύπνοις Δέσποινα Παρθενομήτορ, ικεσίαις φύλαττε τους σε υμνούντας ευλαβώς, και ευφημούντας την άθλησιν, Αιμιλιανού του γενναίου μάρτυρος.

Το α’ ἀντίφωνον του δ’ ἦχου.

Προκείμενον: Δίκαιος ως φοίνιξ ανθήσει, και ωσεί κέδρος εν τω λιβάνω πληθυνθήσεται.

Στιχ.: Εν οίκω Κυρίου, εν τάις αυλαίς του Θεού ημών εξανθήσουσιν.

Και το Ευαγγέλιον εκ του κατά Ματθαίον.

Είπεν ο Κύριος τοις εαυτού Μαθηταίς. Ιδού εγώ αποστέλλω υμάς, ως πρόβατα εν μέσω λύκων· γίνεσθε ουν φρόνιμοι, ως οι όφεις, και ακέραιοι, ως αι περιστεραί. Προσέχετε δε από των ανθρώπων, παραδώσουσι γαρ υμάς εις συνέδρια, και εν ταις συναγωγαίς αυτών μαστιγώσουσιν υμάς. Και επί ηγεμόνας δε και βασιλείς αχθήσεσθε ένεκεν εμού, εις μαρτύριον αυτοίς και τοις έθνεσιν. Όταν δε παραδιδώσιν υμάς, μη μεριμνήσετε πως η τι λαλήσετε. Δοθήσεται γαρ υμίν εν εκείνη τη ώρα, τι λαλήσετε. Ουκ υμείς εστε

οι λαλούντες, αλλά το Πνεύμα του Πατρός υμών, το λαλούν εν υμίν. Παραδώσει δε αδελφός αδελφόν εις θάνατον, και πατήρ τέκνον· και επαναστήσονται τέκνα επί γονείς, και θανατώσουσιν αυτούς. Και έσεσθαι μισούμενοι υπό πάντων δια το όνομά μου· ο δε υπομείνας εις τέλος, ούτος σωθήσεται.

Ο 50ος ψαλμός.

Δόξα: Ταις του Αθλοφόρου…Και νυν: Ταις της Θεοτόκου…

Ιδιόμελον. Ήχος β΄. Στ.: Ελεήμον, ελέησόν με ο Θεός…

Μη με χειμαζόμενον εν απορίαις παντοίαις, και κατατρυχόμενον, εν αλγειναίς ταις οδύναις, ψυχής τε και σώματος, ου στερήσεις Άγιε επισκέψεως· αλλ' οίκτείραι με τον δείλαιον, δέξαι την δέησιν, ην από καρδίας προσφέρω σοι: Θεός γαρ σε παράκλησιν, και παραμυθίαν πιστοίς δέδωκεν, όθεν ευχαρίστως κραυγάζω σοι θεράπων· του Χριστού, μη μου παρίδης την δέησιν το συμφέρον ποίησον.

Έτερον. Ήχος πλ. β΄.

Τω της αθλήσεως πυρί, της εν σοι θείας αγάπης την φλόγα εκφήνας, και τοις των αγώνων άνθραξι, της απάτης φλέξας την άκανθαν, Αιμιλιανέ αξιάγαστε, ανάψον εν ημίν του θείου πόθου την φλόγα, και ρύσαι ημάς μελλούσης κατακρίσεως, ταις προς Χριστού πρεσβείαις σου.

Ο Κανών της Θεοτόκου,

Ωδή α΄. Ήχος α΄. Θαλάσσης το Ερυθραίον πέλαγος.

Τα θεία και υπερένδοξά σου θαύματα, προθυμουμένω νυν, ανευφημήσαι πάναγνε πιστώς, την σην χάριν μου βράβευσον, και την ψυχήν μου φαίδρυνον, τη φωταυγία σου, Πανάχραντε.

Τον Θεού Λόγον υπερφυως εκύησας, ημάς θεώσαντα, τη υπέρ νουν ενώσει αληθώς, Θεοτόκε Πανύμνητε, ον εκτενώς ικέτευε, φωταγωγήσαι τους υμνούντας σε.

Ισχύν τε, και ασφαλείας δύναμιν, την σην Πανάχραντε, εικόνα θείαν όντως ευσεβώς νυν πλουτούσα η πόλις την χάριν αδιάσπαστον έχει, διο και καυχάται εν σοι.

Της πάλαι κιβωτού, ως αληθώ, υπέρτιμος, ο σος Ναός, Παρθενομήτωρ, ώφθη τοις εν γη, ου τα σύμβολα φέρων νυν, αλλά διαγνωρίζων πιστώς, της αληθείας τα γνωρίσματα.

Και του Αγίου ο παρών, ου η Ακροστιχίς· Αιμιλιανού Μάρτυρος μέλπω κλέος. Ιωσήφ.

Ωδή α΄. Ήχος δ΄. Ανοίξω το στόμα μου.

Αινέσωμεν σήμερον, τον επί πάντων Θεόν ημών, και τούτου τον Μάρτυρα, ανευφημήσωμεν, εναθλήσαντα, νομίμως και της νίκης, το στέφος αράμενον, σθένει του Πνεύματος.

Ισχύν ενδυσάμενος, του την ημών αγαθότητι, ασθένειαν ένδοξε, Μάρτυς φορέσαντος, απεγύμνωσας, ειδώλων ασθενείας, το μάταιον φρύαγμα, θεομακάριστε.

Μονάδα θεότητος, ενιζομένην ταυτότητι, αοίδιμε φύσεως, χαίρων εκήρυξας, και πολύθεον, διέλυσας απάτην, αθλήσας στερρότατα, αξιοθαύμαστε.

Θεοτοκίον.

Ισχύς μου και ύμνησις, και φωτισμός της καρδίας μου, υπάρχει πανάμωμε, Χριστός ο Κύριος· ον εκύησας, εν δύο ταις ουσίαις, μια υποστάσει δε, κατανοούμενον.

Ωδή γ΄. Ευφραίνεται επί σοι.

Ενώκισεν εν σοι ο κατοίκων τους Ουρανούς, Άχραντε, ον εκτενώς αίτησαι, σώσαι τας ψυχάς των υμνούντων σε.

Ρυόμενον τους βροτούς, παρακοής του χαλεπού πτώματος, τον του παντός αίτιον, Άχραντε σαρκί απεκύησας.

Ιάματα τοις πιστοίς, η χαριτόβρυτος ημίν σήμερον, της υπερτίμου Αγνής Εικών αναβρύει εν χάριτι.

Ως δρόσος εαρινή, η ευφροσύνη σου αεί ρέουσα, τας ψυχάς και νύνι αρρήτως δροσίζει τοις θαύμασι.

Του Αγίου. Τους σους υμνολόγους.

Λύχνος τοις ποσί σου εγενήθη, και φως σου ταις τρίβοις αληθώς, ο νόμος του Θεού ημών, δι  οὗ καθυπεσκέλισας, παρανομούντων βήματα, μαρτυρικώς κλεϊζόμενος.

Ιθύνας νοός σου τας πορείας, προς θείου θελήματος σοφέ, λιμένα γαληνότατον, πολυθεΐας θάλασσαν, κυματουμένην πνεύματι, της πονηρίας διέφυγες.

Αιμιλιανού τους θείους άθλους, την πίστιν και μέχρι τελευτής, ανδρείαν κατεπλάγησαν, Δυνάμεις αι ουράνιαι, όπως σαρκί τον άσαρκον, ταπεινωθείς καταβέβληκε.

Θεοτοκίον.

Νόμους τους της φύσεως λαθούσα, εν τω υπέρ φύσιν τοκετώ, Παρθένος μετά γέννησιν, Παρθενομήτορ έμεινας· τον πλαστουργόν γαρ άχραντε, απάσης κτίσεως τέτοκας.

Κάθισμα. Ήχος γ΄. Θείας πίστεως.

Πυρπολούμενος, τω θείω ζήλω, πυρ ομόδουλον, ουκ εποήθης, αλλ' ὑπελθὼν αποήτω θελήματι, την αναφθείσαν πυράν ωλοκαύτωσαι, και τω Δεσπότη ως θύμα προσήνεξαι. Μάρτυς ένδοξε, Χριστόν τον Θεόν ικέτευε, δωρήσασθαι ημίν το μέγα έλεος.

Δόξα. Και νυν. Θεοτοκίον.

Θείας φύσεως, ουκ εχωρίσθη, σαρξ γενόμενος, εν τη γαστρί σου, αλλά Θεός ενανθρωπήσας μεμένηκεν, ο μετά τόκον Παρθένον φυλάξας σε, ως προ του τόκου Μητέρα πανάμωμον, μόνος Κύριος· αυτόν εκτενώς ικέτευε, σωθήναι δεόμεθα τας ψυχάς ημών.

Ωδή δ΄. Επαρθέντα σε ιδούσα.

Η πανάμωμος και μόνη αγιωτέρα, των ουρανίων νοών ενδειχθείσα, Παρθένε, ρύσαι ταις πρεσβείαις σου πάσης περιστάσεως, τους προσκυνούντας την σεπτήν σου μορφήν.

Φωτοφόρον σε λυχνίαν φωτός του θείου, ως εν γαστρί βαστάσασαν, γινώσκομεν Κόρη, όθεν δυσωπούμέν σε, φωτί σου καταύγασον, πάντων τας ψυχάς των υμνούντων σε, από γης ημάς ανελκεί,

θεογεννήτορ, προς ουρανόν η θεία Εικών σου τω πόθω, ταύτης αναφθέντες θερμώς. Διο σε δοξάζομεν, ως αιτίαν δόξης της κρείττονος.

Ιδού Εικών πανσέβαστος, δεύτε πάντες, ειλικρινεί καρδία προσπέσωμεν ταύτη, την του πρωτοτύπου αυτής χάριν, εξαιτούμενοι, ην περ και ετοίμως δοξάζομεν.

Του Αγίου. Ο καθήμενος εν δόξη.

Ο Θεού σε θείος έρως, παραδόξως ανέφλεξεν· όθεν των μαστίγων, το πικρόν και πυράν εκαρτέρησας, και τους θεούς των αθέων ενεπύρισας, και ψυχάς παμμάκαρ, των πιστών κατεδρόσισας.

Υπερείδες τα παρόντα, δια μόνα τα μένοντα, και τω θείω πόθω, όλην την ψυχήν σου προσέδησας· της ασεβείας το κράτος όθεν έλυσας, αθλοφόρε, Αιμιλιανέ αξιάγαστε.

Μίαν φύσιν μίαν δόξαν, τρισηλίου Θεότητος, ευσεβώς δοξάζων, Αιμιλιανέ προς το στάδιον, ως στρατιώτης γενναίος εισελήλυθας, και τον δράκοντα, τον ισχυρόν κατηδάφισας.

Θεοτοκίον.

Αγιάσματός σε τόπον, του ημάς αγιάσαντος, Παναγία Κόρη, μόνην ευρεθείσαν δοξάζομεν· δι  οὗ οι γην κατοικούντες ουρανώθημεν, και ζωής, αληθινής ηξιώθημεν.

Ωδή ε΄. Συ Κύριέ μου φως.

Σε θείον αληθώς, περιτείχισμα Δέσποινα, δεδώρηται τη ση πόλει, την σεπτήν σου Εικόνα, και άσειστον εδραίωμα.

Συ Άχραντε Αγνή, υπερήλησας άπαντα, των ουρανίων τα πλήθη, τω πανσέπτω σου τόκω. Διο σε μεγαλύνομεν.

Του Πνεύματος τερπνός, ευωδίαν εκπέμπων σος, παράδεισος ώσπερ Κόρη, ο Ναός ο κατέχων την σην Εικόνα δέδεικται.

Θησαύρισμα Αγνή, ως πολύτιμον έχουσα, η πόλις σου Θεοτόκε, την σεπτήν σου Εικόνα, την χάριν εκπορίζεται.

Του Αγίου. Εξέστη τα σύμπαντα.

Ρανίσι κατέσβεσας, των ιερών αιμάτων σου, Αιμιλιανέ πυρ αθεΐας· όθεν θαυμάτων πηγήν ανέβλυσας, λίμνας αναστέλλουσαν παθών, νόσους κατακλύζουσαν, και βυθίζουσαν δαίμονας.

Ταθέντα σε τύπτεσθαι, ο δυσσεβής προσέταττεν· όθεν σπαραττόμενος την σάρκα, και ταις αικίαις τραυματιζόμενος, του τραυματισθέντος εν Σταυρώ, πάθος εξεικόνισας, αθλητά το μακάριον.

Υπάρχων ανάπλεως, των δωρεών του Πνεύματος, νόσους ανιάτους θεραπεύεις· αρρωστημάτων παύεις τον καύσωνα· πνεύματα διώκεις πονηρά· πάσι τοις εν θλίψεσι, βοηθείς αξιάγαστε.

Θεοτοκίον.

Ρομφαία τρωθέντα με, της αμαρτίας ίασαι, τω δραστικωτάτω σου φαρμάκω, η τον Σωτήρα Χριστόν κυήσασα, λόγχη τον τρωθέντα δι ἐμέ, Άχραντε και τρώσαντα, την καρδίαν του όφεως.

Ωδή στ΄. Θύσω σοι μετά φωνής.

Στομάχι, λογισμώ και καρδία Παντάνασσα, σε Θεοτόκε υμνούμεν, και δοξάζομεν πόθω, σην προστασίαν, ότι πάντας ευφροσύνης εικόνι σου επλασας.

Τάξεις σε, ασωμάτων Αγγέλων γεραίρουσι, και των Αγίων χορείαι, και ημείς συν τούτοις νυν συνελθόντες, μετά πόθου, χαριστήρια άσματα μέλπομεν.

Χαίροντες, της Αγνής τα θαυμάσια άσωμεν, ότι την θείαν Εικόνα, υπ' ελαίαν πάλαι καλυπτομένην, θαυμασίως, ως θησαύρισμα ημίν διαπέφηνε.

Ισχύν σε, οι πιστοί κεκτημένοι και καύχημα, και ιατρείον Παρθένε, νοσημάτων πάντων νυν εκλυτρούται, και παντοίους πειρασμούς και κινδύνους εκκρούονται.

Του Αγίου. Ήλθον εις τα βάθη.

Όλβιος και πλήρης θείας δόξης, τω μαρτυρίω μάκαρ, εχρημάτισας και μετ  Ἀγγέλων, τους ουρανούς κατοικείς δεόμενος, του σωθήναι τας ψυχάς ημών.

Σώματος θνητού συ ουκ εφείσω· αθανασίαν όθεν, διαμένουσαν κατεκληρώσω, θανατωθείς δια πόθον ένδοξε, του τα πάθη θανατώσαντος.

Μύρον αναβλύζει οία ρείθρον, η των λειψάνων θήκη, σου πανόλβιε γενναίε Μάρτυς· και καταργεί τα δυσώδη πάντοτε, των ανθρώπων αρρωστήματα.

Θεοτοκίον.

Εύα μεν ετρύγησε του ξύλου, καρπόν θανατηφόρον· συ δε Πάναγνε ζωής το ξύλον, καρπογονείς ου η γεύσις άπαντας, τους θανόντας ανεζώωσεν.

Το Κοντάκιον. Ήχος πλ. δ΄. Τη Υπερμάχω.

Τω αθλοφόρω οι πιστοί τα υμνητήρια, Αιμιλιανώ δεύτε συμφώνως αναμέλψωμεν, απαστράπτει γαρ τοις θαύμασιν εν τω κόσμω, απελαύνων των ειδώλων την σκοτόμαιναν, και παρέχεις τοις πιστοίς την χάριν άφθονον, τοις κραυγάζουσι· Χαίροις μάρτυς πολύαθλε.

Ο οίκος

Ο δεσπόζων του σύμπαντος Κύριος, ο χαρίσμασι ποικίλοις τους Αγίους αυτού κατακοσμήσας προειδώς την προς αυτόν και τους αδελφούς αγαπητικήν διάθεσιν, ου μόνον του μαρτυρίου ηξίωσεν, αλλά και την χάριν των ιαμάτων εδωρήσατο· πολλοί γαρ βωβοί, άλαλοι, λαλείν σοι πρεσβεία ηξίωσαν τω Ναώ σου προστρέχοντες, και άλλας ιάσεις παρέχεις τοις πιστοίς προσιούσί σε, Αιμιλιανέ μάρτυς πολύαθλε.

Συναξάριον.

Τη ΙΗ΄ του αυτού μηνός, μνήμη του Αγίου Μάρτυρος Αιμιλιανού.

Στιχ. Αιμιλιανός εις πυράν βεβλημένος,

Χριστώ παραστάς τέρπεται συν Αγγέλοις.

Ωδή ζ΄. Εν τη καμίνω.

Αγιωτέραν, των Χερουβίμ σε απειργάσατο, χρόνω γεννηθείς ο άχρονος του Θεού, Υιός Λόγος συναΐδιος. Ευλογημένη γουν εν γυναιξίν υπάρχεις πανάμωμε.

Πεποικιλμένη τη θεία δόξη ώφθης Δέσποινα, μόνη εν γαστρί βαστάσασα τον Υιόν του Θεού, και θαυμάτων όντως πέλαγος, ευλογημένη συ, των προσφύγων των σων αναδέδειξαι.

Υπερβλύζουσιν οι των θαυμάτων θείοι Πάναγνε, αληθώς κρατήρές σου τοις πιστοίς, και μυρίζει τους υμνούντάς σε, του Ναού εκβλύζον θείον ευώδες Αγνή Μύρον σου.

Δράμετε εντaύθα μετ  εὐφροσύνης πλήθη των ευσεβων, ίδε η Αγνή προβάλλεται εαυτής παραδόξως το εκτύπωμα, όπερ ασπαζόμενοι λύτρωσιν κινδύνων αιτήσασθε.

Του Αγίου. Ουκ ελάτρευσαν.

Λαμπρυνόμενος, τη χάριτι μακάριε, του θείου Πνεύματος, την της καμίνου πυράν, υπήλθες και έψαλλες, Μάρτυς θεόπνευστε· Υπερύμνητε, ο των Πατέρων Κύριος, και Θεός ευλογητός ει.

Πυρακτούμενος, τω έρωτι μακάριε, του εραστού σου Χριστού, το πυρ ουκ έπτηξας, εν ω δροσιζόμενος, πνεύματι έψαλλες· Υπερύμνητε, ο των Πατέρων Κύριος, και Θεός ευλογητός ει.

Ωραιότητι, των άθλων εξωμοίωσαι, τοις ασωμάτοις σοφέ, ωραιοτάτω Χριστώ, μεθ  ὧν παριστάμενος, μέλπεις γηθόμενος· Υπερύμνητε, ο των Πατέρων Κύριος, και Θεός ευλογητός ει.

Θεοτοκίον.

Κυριώνυμε, θεόνυμφε το Χαίρέ σοι, πίστει κραυγάζομεν· και γαρ εκύησας, χαράν ανεκλάλητον, Χριστόν τον Κύριον, ω κραυγάζομεν· Ο των Πατέρων Κύριος, και Θεός ευλογητός ει.

Ωδή η΄. Λυτρωτήν του παντός.

Υμνωδίαις ενθέως τιμήσωμεν, την Μητέρα Κυρίου την άχραντον, την εν μητράσιν άνανδρον και Παρθένοις Μητέρα, δι ἧς εσώθη εκ θανάτου το γένος το βρότειον.

Ιερείς και λαός ευφημούσέ σε, Αθηναίων η πόλις αγάλλεται, την σην Εικόνα Δέσποινα, κεκτημένη αρρήτως, θαυματουργούσαν, και πιστώς εγκαυχάται το πλήρωμα.

Ωρκίσθης Αγνή παντευλόγητε, όπερ πάσαν Αγγέλων ευπρέπειαν, ωράϊσον ουν άπαντας τους τιμώντας σε πόθω, των αρετών τε καλλονών τας ψυχάς ημών φαίδρυνον.

Τω σε Παρθένε παρίστασαι, ου το κράτος τα σύμπαντα τρέμουσι. Τούτον ουν καθικέτευε, από πάσης ανάγκης εκλυτρωθήναι, τους πιστώς προσκυνούντας Εικόνα σην.

Του Αγίου. Παίδας ευαγείς εν τη καμίνω.

Λύσας τα σεβάσματα της πλάνης, δεσμοίς αντί σου τον κατεχόμενον, πάνσοφε απέλυσας, και προς το μαρτύριον, αυτοθελώς εχώρησας βοών πανεύφημε· Τον Κύριον υμνείτε τα έργα, και υπερυψούτε, εις πάντας τους αιώνας.

Ευρέθην ιδού τοις μη ζητούσι, μη επερωτώσιν επεφάνην δε, έκραζες αοίδιμε· σύνετε παράνομοι· ως γαρ αρνίον άκακον

τυθήναι έσπευσας· Τον Κύριον υμνείτε κραυγάζων, και υπερυψούτε, εις πάντας τους αιώνας.

Ο μέγας ημάς προς ευωχίαν, Αιμιλιανός συνεκαλέσατο, προθείς ως εδέσματα, τούτου τα παλαίσματα· πνευματικώς τρυφήσωμεν πιστοί και μέλψωμεν· Τον Κύριον υμνείτε τα έργα, και υπερυψούτε εις πάντας τους αιώνας.

Θεοτοκίον.

Σταγόνα μοι όμβρισον ελέους, πηγήν του ελέους η κυήσασα, και της αμαρτίας μου, ξήρανον ομβρήματα, και της ψυχής μου πράυνον άγρια κύματα, Παρθένε Θεοτόκε Μαρία· ίνα σε δοξάζω, εις πάντας τους αιώνας.

Ωδή θ΄. Λίθος αχειρότμητος.

Βέλεσι δεινών πληγωθέντας Παρθένε, πάντας ηλευθέρωσας θεία, και δραστική σου Δέσποινα ενεργεία, Εικόνι τη αγία σου θλίψεις ημών διασκεδάσασα.

Έχει σην Αγίαν Εικόνα θεογεννήτορ η ση πόλις στήριγμα και καύχημα όντως επί αιτία γίνεται προς ύφωσιν, τείχος αυτής προς δύναμιν, όντως παναμώμητε Δέσποινα.

Ναόν εκμιμούμενον πάσαν των ουρανών την ευκοσμίαν, σήμερον πιστοί της Παρθένου καταλειφότες ταύτην δοξάσωμεν, την τούτον χαριτώσασαν αύθις των θαυμάτων τη χάριτι.

Φως ημίν ανέτειλε Κόρη, εκ φωτοφόρου σου νηδύος, ο Δημιουργός του ηλίου, και των αστέρων και πάσης κτίσεως, ον εκτενώς ικέτευε φωταγωγήσαι τους υμνούντάς σε.

Του Αγίου. Εύα μεν τω της παρακοής.

Ιδείν εφιέμενος Θεού την άρρητον, ευφροσύνην και τερπνότητα, πάντων τερπνών των εν τω βίω, ηδέως κατεφρόνησας ένδοξε, και χαίρων το μαρτύριον ήνυσας· όθεν σε πόθω μακαρίζομεν.

Ως θύμα οπτόμενος πυρί πανεύφημε, του τυθέντος ώσπερ πρόβατον, θεία τραπέζη προσηνέχθης, οσμή πνευματική συντηρούμενος, και δόξης αληθούς αξιούμενος· όθεν σε πάντες μακαρίζομεν.

Σήμερον η μνήμη σου ημίν εξέλαμψεν, αθλοφόρε υπέρ ήλιον, πάσαν ευφραίνουσα καρδίαν, πιστών τας διανοίας φωτίζουσα, και σκότος νοσημάτων διώκουσα· ην επαξίως μακαρίζομεν.

Η των πρωτοτόκων εκλεκτή ομήγυρις, συμπολίτην σε εκτήσατο· Μάρτυρες πάντες συν αυτοίς σε, χορεύοντα ορώντες αγάλλονται· μεθ ὧν των μεμνημένων σου μέμνησο, Μεγαλομάρτυς μεγαλώνυμε.

Θεοτοκίον.

Φωτί με καταύγασον τω σω πανύμνητε, τον εν σκότει πορευόμενον· δίδου μοι χείρα βοηθείας· τα νέφη της ψυχής μου απέλασον· παθών μου το κλυδώνιον κόπασον, απεγνωσμένων καταφύγιον.

Εξαποστειλάριον. Γυναίκες ακουτίσθητε.

Των γεηρών υπέρτερος, γενόμενος μακάριε, εν τη ενώσει τη θεία, της του Σωτήρος αγάπης, ανδρείως ηνδραγάθησας, εν άθλοις και κατήσχυνας, των δυσσεβών το φρύαγμα, Αιμιλιανέ Μάρτυς· διο σε ανευφημούμεν.

Έτερον. Φως αναλοίωτον Λόγε.

Φως νοητόν εν καρδία, συ κατηυγάσθης, θεόφρον, φως το εκείθεν εκπέμπον, τοις λιτανεύουσι πιστώς, τω ιερώ σου τεμένει φρούρει και σκέπε παμμάκαρ.

Θεοτοκίον.

Το σον πολίτευμα, Λόγε, κραταίωσον εν πολέμοις, τοις Ορθοδόξοις το νίκας, κατά βάρβαρον παρέχον, της Θεοτόκου πρεσβείαις, ην εδωρήσω Χριστιανοίς προστασίαν.

Εις τους Αινούς Ήχος πλ. δ΄. Τι ημάς καλέσωμεν.

Ώφθης διαύγεια του Πνεύματος, ώσπερ λίθος διαυγής, της βασιλείας του Χριστού, εναθλήσας καρτερώς, υπέρ της πίστεως ημών. Και τρέψας των αθέων την παράταξιν και νίκην κατ αὐτῶν αράμενος· διο σε πίστει δοξάζωμεν, ως στρατιώτην αήττητον, Αιμιλιανέ ένδοξε, ικέτευε του σωθήναι τας ψυχάς ημών. (Δις).

Θύματα της πλάνης παρέδραμες, κυβερνώμενος Χριστού τη αηττήτω δεξιά, και λιμένι νοητώ, εγκαθωρμίσθης αθλητά, γαλήνης μη ληγούσης εμφορούμενος, και δόξης μη ρεούσης αξιούμενα, Αιμιλιανέ γενναιότατε, ικέτευε του σωθήναι τας ψυχάς ημών.

Μέλεσιν οικείοις εδόξασας τον αθάνατον Θεόν, θανατωθείς υπέρ αυτού· αθανάτων δωρεών, όθεν συμμέτοχον σοφέ· δεικνύει και δοξάσει σε μακάριε, σημείοις και δυνάμεσιν εκάστοτε, και γαρ πηγή αγιάσματος η ση μνήμη πάσι πρόκειται, Αιμιλιανέ αήττητε, ικέτευε του σωθήναι τας ψυχάς ημών.

Δόξα πατρί. Ήχος δ΄.

Δεύτε ευφημήσωμεν οι πιστοί, τον θερμόν ημών προστάτην και πρόμαχον, τους γενναίους κατατροπώσαντα και βαλόντα του τυράννου τα ένεδρα· Αιμιλιανόν τον ένδοξον μάρτυρα, των αθλητών το καύχημα, των μαρτύρων το εγκαλλώπισμα, τον μαστιγώσεις και φλόγας καμίνου, πυρός ανδρείως υπομείναντα, και άφλεκτον διαμείναντα, και μετά Χριστού, ου επόθησεν ήδη συμβασιλεύοντα, και πρεσβεύοντα υπέρ των ψυχών ημών.

Και νυν και αεί και εις τους αιώνας των αιώνων. Αμήν.

Εκ παντοίων κινδύνων τους δούλους σου φύλαττε, ευλογημένη, Θεοτόκε, ίνα σε δοξάζωμεν την ελπίδα των ψυχών ημών.

Δοξολογία μεγάλη.

## ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Απόστολος.

Ευφρανθήσεται δίκαιος εν Κυρίω.

Στιχ. Εισάκουσον ο Θεός της φωνής μου.

Προς Τιμόθεον Α΄. Επιστολής Παύλου το Ανάγνωσμα.

Τέκνον Τιμόθεε, πρεσβύτερον μη επιπλήξης, αλλά παρακάλει, ως πατέρα· νεωτέρους ως αδελφούς· πρεσβυτέρας ως μητέρας· νεωτέρας ως αδελφάς, εν πάση αγνοία. Χήρας τίμα, τας όντως χήρας. Ει δε τις χήρα τέκνα η έγγονα έχει μανθανέτωσαν πρώτον τον ίδιον οίκον ευσεβείν, και αμοιβάς αποδιδόναι τοις προγόνοις· τούτο γαρ εστι καλόν και απόδεκτον ενώπιον του Θεού. Η δε όντως

χήρα και μεμονωμένη ήλπισεν επί τον Θεόν, και προσμένει ταις δεήσεσι και ταις προσευχαίς νυκτός και ημέρας. Η δε σπαταλώσα, ζώσα τέθνηκε. Και ταύτα παράγγελλε, ίνα ανεπίληπτοι ώσιν. Ει δε τις των ιδίων και μάλιστα των οικείων ου προνοεί, την πίστιν ήρνηται, και εστιν απίστου χείρων. Χήρα καταλεγέτω μη έλαττον ετών εξήκοντα, γεγονυία ενός ανδρός γυνή, εν έργοις καλοίς μαρτυρουμένη, ει ετεκνοτρόφησεν, ει και εξενοδόχησεν, ει αγίων πόδας ένιψεν, ει θλιβομένους επήρκεσεν, εν παντί έργω αγαθώ επηκολούθησεν.

Αλληλούϊα. Ήχος δ΄.

Δίκαιος ως φοίνιξ ανθήσει.

Στιχ. Πεφυτευμένα εν τω οίκω Κυρίου.

Ευαγγέλιον εκ του κατά Μάρκον.

Είπεν ο Κύριος της εαυτού Μαθηταίς. Βλέπετε υμείς εαυτούς. Παραδώσουσι γαρ ημάς εις συνέδρια και συναγωγάς, δαρήσεσθε και επί ηγεμόνων και βασιλέων αχθήσεσθε ένεκεν εμού, εις μαρτύιον αυτοίς· και εις πάντα τα έθνη δει πρώτον κηρυχθήναι το Ευαγγέλιον. Όταν δε αγάγωσιν υμάς παραδιδόντες, μη προμεριμνάτε, τι λαλήσητε, μηδέ μελετάτε· αλλ’ ο εάν δοθή ημίν εν εκείνη τη ώρα τούτο λαλείτε· ου γαρ υμείς εστέ οι λαλούντες, αλλά το Πνεύμα το Άγιον. Παραδώσει δε αδελφός αδελφόν εις θάνατον, και πατήρ τέκνον και επαναστήσονται τέκνα επί γονείς, και θανατώσουσιν αυτούς. Και έσεσθε μισούμενοι υπό πάντων δια το όνομά μου· ο δε υπομείνας εις τέλος, ούτος σωθήσεται.

Μεγαλυνάριον.

Δεύτε ευφημήσωμεν οι πιστοί, τον θερμόν προστάτην, Δοροστόλου τον βοηθόν, Αιμιλιανόν τον θείον, υπέρμαχον φωστήρα, πρεσβεύων τω Κυρίω· τους ανυμνούντάς σε.

Τον του Δοροστόλου θείον βλαστόν, και στερρόν οπλίτην, του Σωτήρος ημών Χριστού, Αιμιλιανέ σε, συμφώνως ευφημούμεν, και πρέσβυν τω Κυρίω, σε προβαλλόμεθα.

Ίαμα ως δρόσος εωθινή, ευσεβέσιν ώφθη, η ση άθλησις εν πυρί· δι’ αυτής γαρ μάρτυς, τω κόσμω διαπνέεις, ω Αιμιλιανέ, τας θείας χάριτας.

Δεύτε ευφημήσωμεν οι πιστοί, τον θερμόν προστάτην, Δοροστόλου τον βοηθόν, Αιμιλιανόν νυν, υπέρμαχον φωστήρα, πρεσβεύων τω Κυρίω, τους ανυμνούντάς σε.

